UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

LX. Adhortatio sub finem edicti, ut nemo alteri molestiam facessat.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

## ΚΕΦΑΛΑΙΟΝ Ξ′.

*Παραίνεσις ἐπὶ τέλει τοῦ διατάγματος, μηδένα μηδενὶ ἐνοχλεῖν.*

A Πλὴν ἕκαστος ὅπερ πείσας ἑαυτὸν ἀναδέδεικται, τούτῳ τὸν ἕτερον μὴ καταβλαπτέτω. ὅπερ θάτερος εἶδέ τε καὶ ἐνόησε, τούτῳ τὸν πλησίον, εἰ μὲν χρέος δυνατόν, ὠφελείτω. εἰ δ' ἀδύνατον, παραπεμπέσθω. ἄλλο γάρ ἐστι, τὸν ὑπὲρ ἀθανασίας ἆθλον ἑκουσίως ἐπαναιρεῖσθαι. ἄλλο τὸ μετὰ τιμωρίας ἐπαναγκάζειν. ταῦτ' εἶπον· ταῦτα διεξῆλθον μακρότερον, ἢ ὁ τῆς ἐμῆς ἐπιεικείας ἀπῄτει σκοπός, ἐπειδὴ τὴν τῆς ἀληθείας ἀποκρύψασθαι πίστιν οὐκ ἐβουλόμην· μάλιστα ἐπεί τινες, ὡς ἀκούω, φασὶ τῶν ναῶν περιῃρῆσθαι τὰ ἔθη καὶ τοῦ σκότους τὴν ἐξουσίαν· B ὅπερ συνεβούλευσα ἂν πᾶσιν ἀνθρώποις, εἰ μὴ τῆς μοχθηρᾶς πλάνης ἡ βίαιος ἐπανάστασις, ἐπὶ βλάβῃ τῆς κοινῆς ἀναστάσεως ἀμέτρως ταῖς ἐνίων ψυχαῖς ἐμπεπήγει.

## Caput LX.

*Adhortatio sub finem edicti, ut nemo alteri molestiam facessat.*

Ceterùm nemo ex eo quod ipse animo imbibit, alteri noxam pariat. Sed quicumque aliquid intellexerit ac noverit, eo siquidem fieri potest, proximum juvet: sin id fieri non potest, omittat. Aliud est enim, certamen pro immortalitate sponte suscipere: aliud suppliciorum vi adigere. Hæc dixi, & uberiùs ac prolixiùs quàm mansuetudinis nostræ propositum postulabat, ideò disserui, quòd fidei veritatem celare ac dissimulare nolebam. Præsertim cùm nonnulli, ut audio, asserant, ritus ac cæremonias templorum & potestatem tenebrarum penitus esse sublata. Quod profectò suasissem omnibus hominibus, nisi pravi erroris violenta præsumptio, in cladem atque in damnum reparationis generis humani, quorundam mentibus nimis insideret.

## ΚΕΦΑΛΑΙΟΝ ΞΑ′.

*Ὅπως ἀπὸ τῶν Ἀλεξανδρέων διὰ τὰ κατὰ Ἄρειον ἐκινοῦντο ζητήσεις.*

C Τοιαῦτα βασιλεὺς ὡσανεὶ Θεοῦ μεγαλοφωνότατος κῆρυξ, τοῖς ἐπαρχιώταις ἅπασι δι' οἰκείου προσεφώνει γράμματος. δαιμονικῆς μὲν ἀπείργων τοὺς ἀρχομένους πλάνης. τὴν δ' ἀληθῆ μετιέναι θεοσέβειαν ἐγκελευόμενος. φαιδρυνομένῳ δ' αὐτῷ ἐπὶ τούτοις, φήμη τις διαγγέλλεται, ἀμφὶ ταραχῆς οὐ μικρᾶς τὰς ἐκκλησίας διαλαβούσης· ἐφ' ᾗ τὴν ἀκοὴν πληγείς, ἴασιν προὐνόει. τὸ δ' ἦν ἄρα τοιόνδε. ἐσεμνύνετο μὲν ὁ τοῦ Θεοῦ λεώς, ταῖς τῶν καλῶν καλλωπιζόμενος πράξεσιν· D οὐδ' ἦν τις ἔξωθεν φόβος ταράττων· ὡς καὶ λαμπρᾶς καὶ βαθυτάτης εἰρήνης ἁπανταχόθεν τὴν ἐκκλησίαν Θεοῦ χάριτι περιφρουρούσης· φθόνος δ' ἄρα καὶ τοῖς ἡμετέροις ἐφήδρευε καλοῖς. εἴσω μὲν εἰσδυόμενος. μέσος δ' ἐν αὐτοῖς χορεύων τοῖς τῶν ἁγίων ὁμίλοις. συμβάλλει δῆτα τοὺς Ἐπισκόπους, στάσιν ἐμβαλὼν ἐρεσχελίας, θείων προφάσει δογμάτων· κἄπειθ' ὡς ἀπὸ μικροῦ σπινθῆρος μέγα πῦρ ἐξεκάετο. ἄρξας μὲν ὥσπερ ἀπὸ κορυφῆς ἀρξάμενον τ

## Caput LXI.

*Quomodo ab urbe Alexandria quæstiones commota sint propter Arium.*

Hæc Imperator velut quidam Dei præco maxima præditus voce, cunctis Provincialibus per suas literas inclamavit, dum subditos à dæmonum errore revocare, & ad verum Dei cultum amplectendum incitare conatur. Quas ob res cùm singulari gaudio gestiret, nuntius ad eum perlatus est de quodam non mediocri tumultu qui Ecclesias occupaverat. Quo audito perculsus, remedium excogitare cœpit. Porrò tumultus origo hæc fuit: Florebat populus Dei, & cum alacritate quadam ac tripudio honestis actibus incumbebat. Nullus erat fortis metus, qui perturbationem afferret; quippe cùm Dei optimi maximi beneficio, amœna & profundissima pax Ecclesiam undique communiret. Sed enim invidia nostris bonis insidias struens subsederat. Quæ primùm quidem intro irrepens, posteà in medio Sanctorum cœtu tripudiavit. Tandem vero Episcopos inter se commisit; tumultum & altercationem inter eos excitans, divinorum dogmatum obtentu. Exinde tanquam ex levi quadam scintilla, gravissimum exarsit incendium. quod quidem ab Ecclesia Alexandrina velut

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN